his nanque plurimæ controuerſiæ indigent. Sunt prætereà & præoccupationes, & poſtulata, & iterationes, & orationis prolixitas, & prolixitatis modus, & breuitas, & interpretatio: hæc enim, & his ſimilia, ſpeciebus omnibus ſunt communia. Quoniam igitur de iuſtis, & legitimis, ac de his ſimilibus priùs determinauimus, & eorum vſum enarrauimus, & de amplificationibus quoque, extenuationibúſque diximus, iam de aliis declarabimus.

CAPVT VIII.

VT igitur à probationibus primùm incipiamus, duo ſunt earum genera. Fiunt enim aliæ quidem ex ipſis verbis, & negotiis, & hominibus, aliæ verò appoſitæ ſunt iis quæque dicuntur, & quæ geruntur Nam icota, & exempla, & coniecturæ, & commentationes, & ſententiæ, & ſigna, & argumenta, & probationes ex ipſis verbis, & hominibus, & negotiis ſunt: appoſitæ autem probationes, teſtes, iuramenta, & quæſtiones exiſtunt. Opus eſt autem, harum vnamquanque probationum intelligere qualis ſit, & vnde idonea in eam verba abundè nobis ſuppetent, & quid demum eæ inuicem differunt. Icos igitur, quod probabilem propoſitionem dicimus, illud eſt, quod cùm dixeris auditoribus, in mentibus eius exempla tenent. Dico autem, veluti ſi quis inquiat velle patriam magnam eſſe, & neceſſarios rebus ſecundis vti, aduerſis autem inimicos: atque his ſimilia ſummatim probabilia videantur. Quilibet enim auditorum, qui huiuſmodi deſideriis teneatur, ipſe ſibi de hiſce, déque ſimilibus rebus conſcius eſt. Quam ob rem hoc nobis in dicendo ſemper ſuadendum eſt, ſi rei, de qua loquimur, conſcios auditores perceperimus. Hiſce enim rebus par eſt credere eos maximè. Vis ergo probabilis eſt huiuſmodi: ipſum verò in tres diſtribuemus ſpecies. Vna quidem eſt, quæ eas perturbationes accuſando, aut defendendo verbis comprehendit, quibus homines natura afficiuntur: veluti ſi quem aliqui floccipenderint, aut timuerint, aut eandem rem ſæpiſſimè fecerint, aut iterum voluptate, vel dolore, vel libidine affecti fuerint, aut cupiditate vacarint, aut diuitiis abundarint, aut aliam huiuſmodi perturbationem, ſiue animis, ſiue corporibus, ſiue aliquo illorum ſenſuum, quibus homines afficiuntur, paſſi fuerint. Hæc nanque,

A ταῦτα γὰρ πλείστης ἀντιλογίας δέονται. περὶ δὲ τούτοις, προκαταλήψεις, καὶ αἰτήματα καὶ παλιλλογία, καὶ μῆκος λόγου, καὶ μετριότης μήκους, καὶ βραχυλογία, καὶ ἑρμηνεία. ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια, κοινὰς ἔχει πᾶσι τοῖς εἴδεσι τὰς χρήσεις. περὶ μὲν οὖν τῶν δικαίων καὶ τῶν νομίμων, καὶ τῶν τούτοις ὁμοιοτρόπων, πρότερον διωρισάμην, καὶ τὴν χρῆσιν αὐτῶν
B διεξῆλθον· καὶ περὶ μὲν τῶν αὐξήσεων καὶ ταπεινώσεων εἶπον.

Κεφάλαιον η.

Νῦν δὲ περὶ τῶν ἄλλων δηλώσω, πρότερον ἀπὸ τῶν πίστεων ἀρξάμενος. εἰσὶ δὲ δύο τρόποι τῶν πίστεων. γίνονται γὰρ αἱ μὲν ἐξ αὐτῶν τῶν λόγων καὶ τῶν πράξεων, καὶ τῶν ἀνθρώπων· αἱ δ' ἐπίθετοι τοῖς λεγομένοις καὶ τοῖς πραττομένοις. τὰ μὲν γὰρ εἰκότα, καὶ πα-
C ραδείγματα, καὶ τεκμήρια, καὶ ἐνθυμήματα, καὶ γνῶμαι, καὶ τὰ σημεῖα, καὶ οἱ ἔλεγχοι, πίστεις ἐξ αὐτῶν τῶν λόγων καὶ τῶν ἀνθρώπων καὶ τῶν πραγμάτων εἰσίν. ἐπίθετοι δὲ, μαρτυρίαι, ὅρκοι, βάσανοι. δεῖ δὲ τούτων ἑκάστην αὐτὴν τε συνιέναι ποία τίς ἐστι, καὶ πόθεν τῶν εἰς αὐτὴν λόγων εὐπορήσομεν, καὶ τί ἀλλήλων διαφέρουσιν. εἰκὸς μὲν οὖν ἐστιν,
D οὗ λεγομένου παραδείγματα ἐν ταῖς διανοίαις ἔχουσιν οἱ ἀκούοντες. λέγω δ' οἷον εἴ τις φαίη τὴν πατρίδα βούλεσθαι μεγάλην εἶναι, καὶ τοὺς οἰκείους εὖ πράττειν, καὶ τοὺς ἐχθροὺς ἀτυχεῖν, καὶ τὰ τούτοις ὅμοια, συλλήβδην εἰκότα δόξειεν. ἕκαστος γὰρ τῶν ἀκουόντων σύνοιδεν αὐτὸς αὐτῷ περὶ τούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων, ἔχοντι τοιαύτας ἐπι-
E θυμίας. ὥστε τοῦτο δεῖ παρατηρεῖν ἡμᾶς ἐν τοῖς λόγοις ἀεὶ, εἰ τοὺς ἀκούοντας συνειδότας ληψόμεθα περὶ τοῦ πράγματος οὗ λέγομεν. τούτοις γὰρ αὐτοὺς εἰκός ἐστι μάλιστα πιστεύειν. τὸ μὲν οὖν εἰκὸς, τοιαύτην ἔχει φύσιν. διαιροῦμεν δὲ αὐτὸ εἰς τρεῖς ἰδέας. μία μὲν οὖν ἐστι, τὸ τὰ πάθη τὰ κατὰ φύσιν ἀκολουθοῦντα τοῖς ἀνθρώποις, τοῖς λόγοις συμπαραλαμβά-
F νειν ἐν τῷ κατηγορεῖν, ἢ ἀπολογεῖσθαι· οἷον ἐὰν τύχωσί τινες καταφρονήσαντές τινα, ἢ δείσαντες, ἢ καὶ αὐτὸ τοῦτο τὸ πρᾶγμα πολλάκις πεποιηκότες, ἢ πάλιν ἡσθέντες, ἢ λυπηθέντες, ἢ ἐπιθυμοῦντες, ἢ πεπαυμένοι τῆς ἐπιθυμίας, ἢ πλεκτοῦντες, ἢ τι τοιοῦτον ἕτερον πεπονθότες πάθος τῇ ψυχῇ, ἢ τοῖς σώμασιν, ἢ τινι τῶν ἄλλων αἰσθήσεων οἷς συμπάσχομεν. ταῦτα γὰρ

καὶ τὰ